μῆνές εἰσι καὶ ἡμέραι καὶ ὧραι. ὁ δὲ περὶ ἀτρόφων ἐπὶ τῶν μηδ' ὅλως φθανόντων εἰς τὸν προκείμενον χρόνον ἀλλ' ἐν τοῖς ἐλάττοσι ἀριθμοῖς διὰ ὑπερβολὴν τῆς κακώσεως φθειρομένων. ὅθεν κἀκεῖνος μὲν πολυμερεστέραν ἔχει τὴν ἐπίσκεψιν, οὗτος δὲ τὴν ὁλοσχερεστέραν. ἁπλῶς γὰρ ἐάν τε κακεντρωμένου ἢ τοῦ ἑτέρου τῶν φώτων καὶ τῶν κακοποιῶν ὁ ἕτερος συνῇ ἢ καὶ διαμηκίζῃ ταῦτα δὲ μοιρικῶς καὶ κατ' ἰσοσκέλειαν μηδενὸς μὲν ἀγαθοποιοῦ σχηματιζομένου, τοῦ οἰκοδεσπότου τῶν φώτων ἐν τοῖς τῶν κακοποιῶν τόποις κατειλημμένου, τὸ γεννώμενον οὐ τραφήσεται, παραυτὰ δὲ ἕξει τὸ τέλος· ἐὰν δὲ μὴ κατ' ἰσοσκέλειαν μὲν τοῦτο συμβαίνῃ, ἀλλ' ἐγγὺς ἐπαναφέρωνται τοῖς τῶν φώτων τόποις αἱ τῶν κακοποιῶν βολαὶ, δύο δ' ὦσιν οἱ κακοποιοὶ, καὶ ἤτοι τὸ ἕτερον τῶν ἢ καὶ ἀμφότερα βλάπτοντες ἢ κατ' ἐπαναφορὰν ἢ κατὰ διάμετρον ἢ ἐν μέρει τὸ ἕτερον ὁ ἕτερος, ἢ ὁ μὲν ἕτερος διαμετρῶν ὁ δὲ ἕτερος ἐπαναφερόμενος καὶ οὕτως ἄχρονα γίνεται τοῦ πλήθους τῶν κακώσεων ἀφανίζοντος, τὸ ἐκ τοῦ διαστήματος τῆς ἐπαναφορᾶς εἰς ἐπιμονὴν τῆς ζωῆς φιλάνθρωπον. βλάπτει δὲ ἐξαιρέτως κατὰ μὲν τὰς ἐπαναφορὰς ☉ μὲν ὁ τοῦ ♂ σελήνην δὲ ὁ τοῦ ♄ κατὰ δὲ τὰς διαμετρήσεις ἢ καθυπερτερήσεις ἀνάπαλιν ☉ μὲν ὁ τοῦ ♄ σελήνην δὲ ὁ τοῦ ♂ καὶ μάλιστα ἐὰν κατάσχωσι τοπικῶς τῶν τὰ φῶτα καὶ τὸν ♀ οἰκοδεσποτησάντων. Ἐὰν δὲ καὶ δύο τυγχάνωσι διαμετρήσεις τῶν κέντρων τῶν φώτων ὄντων καὶ τῶν κακοποιῶν κατ' ἰσοσκέλειαν, τότε καὶ νεκρὰ ἢ ἡμιθανῆ τίκτεται τὰ βρέφη. τούτων δὲ οὕτως ἐχόντων ἐὰν μὲν ἀπόρροιαν ἀπό τινος τῶν ἀγαθοποιῶν ἔχοντα τὰ φῶτα τυγχάνοι, ἢ καὶ ἄλλως αὐτοῖς ἢ συνεσχηματισμένα, ἐν τοῖς προηγουμένοις αὐτῶν μέρεσι μέντοι τὰς ἀκτῖνας αὐτῶν ἐπιφερόντων, ἐπιζήσεται τὸ τεχθὲν ἄχρι τοῦ μεταξὺ τῆς ἀφέσεως, καὶ τοῦ ἐγγυτέρω τῶν κακοποιῶν ἀκτίνων ἀριθμοῦ τῶν μοιρῶν, τοὺς ἴσους μῆνας ἢ ἡμέρας ἢ καὶ ὥρας πρὸς τὸ μέγεθος τῆς κακώσεως καὶ τὴν δύναμιν τῶν τὸ αἴτιον ποιούντων. Ἐὰν δὲ αἱ τῶν κακοποιῶν ἀκτῖνες εἰς τὰ προηγούμενα φέρωνται τῶν φώτων, αἱ δὲ τῶν ἀγαθοποιῶν εἰς τὰ ἑπόμενα, τὸ γεννώμενον ἐκτεθὲν ἀναληφθήσεται καὶ ζήσεται, καὶ πάλιν ἐὰν μὲν οἱ συσχηματισθέντες ἀγαθοποιοὶ καθυπερτερηθῶσιν ὑπὸ τῶν κακοποιῶν εἰς κάκωσιν καὶ ὑποταγήν, ἐὰν δὲ καθυπερτερήσωσιν εἰς ὑποβολὴν ἄλλων γονέων, εἰ δὲ τῶν ἀγαθοποιῶν τις ἢ τὴν ἀνατολὴν ἢ τὴν συναφὴν ποιοῖτο τῇ ☾, τῶν δὲ κακοποιῶν ὑπὸ δύσιν τις εἴη, ὑπ' αὐτῶν τῶν γονέων ἀναληφθήσεται. κατὰ δὲ αὐτὸν τὸν τρόπον καὶ ἐπὶ τῶν πλειογονούντων